# 25 SEPTEMBRIE

# PARACLISUL SF.CUVIOASE EUFROSINA DE LA ALEXANDRIA

PARACLISIER-GR

www.tezaurliturgic.ro



# ΣΕΠΤΕΜΒΡΙΟΣ ΚΕ ΕΥΦΡΟΣΥΝΗ ΟΣΙΑ ΠΑΡΑΚΛΗΣΙΣ

*Ποίημα Γερασίμου Μικραγιαννανίτου*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*
Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν…*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς εὐφροσύνης οὐρανῶν κληρονόμος, καὶ κεκτημένη πρὸς Χριστὸν παῤῥησίαν, μὴ διαλίπῃς πάντοτε πρεσβεύουσα, ἀποστάξαι Κύριον τὴν οὐράνιον δρόσον, Εὐφροσύνη ἅπασιν ἐν πυρὶ ἁμαρτίας, ἀποκειμένοις ἵνα σε λαμπρῶς, ὡς παρθενίας λαμπάδα γεραίρωμεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἀλήκτου Εὐφροσύνης, ἀξίωσόν με, Ὁσία. Χ. Μ.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἀλήκτου ἀξίωσον χαρμονῆς, τοὺς σοὶ προσιόντας, καὶ καμάτους σου τοὺς σεπτούς, οὓς ἔτλης ἐν μάνδρᾳ Εὐφροσύνη, ἀνδρώᾳ ὕμνοις εὐήχοις γεραίροντας.

Λιποῦσα τοκέα σου εὐλαβῆ, Παφνούτιον Μῆτερ, καὶ μνηστῆρά σου ἀνδρικοῖς, ἀγῶσι κατέλαβες τὴν νύσσαν, ὑπὲρ ἡμῶν Εὐφροσύνη πρεσβεύουσα.

Ἡδέων ἁπάντων καὶ κοσμικῆς, συγχύσεως ὤφθης, ὑπερτέρα τὰ ἐν Ἐδέμ, τερπνὰ ἐκζητοῦσα Εὐφροσύνη, ὧν καὶ ἡμᾶς ἀπολαῦσαι ἀξίωσον.

*Θεοτοκίον.*

Κεκτήμεθα ἔπαλξιν ἀσφαλῆ, προπύργιον θεῖον, βακτηρίαν καταφυγήν, ἁγνὴ καὶ χαρᾶς ἀδιαλείπτου, Θεοκυῆτορ πηγήν Σε ἀκένωτον.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τῇ θερμῇ ἀρωγῇ σου οἱ εὐσεβεῖς σπεύδοντες, ἴασιν ψυχῶν καὶ σωμάτων, Μῆτερ λαμβάνομεν· ὅθεν κηρύττομεν, σὴν πρὸς ἡμᾶς προστασίαν, Εὐφροσύνη πάντιμε, τὴν ἀδιάπτωτον.

Ὁσιότητος ὤφθης περικαλλὲς τέμενος, καὶ ὑπομονῆς Εὐφροσύνη, κῆπος εὐφρόσυνος· ὅθεν ἀγῶνάς σου, Χριστὸς ἀμείβων τιμίους, δαψιλῶς σε χάριτος, θείας ἐνέπλησεν.

Ὑψωθεῖσα συντόνοις ἀσκητικαῖς πράξεσι, πρὸς τῆς ταπεινώσεως Μῆτερ, ἄκραν ἀκρώρειαν, τὸν ταπεινὸν Ἰησοῦν, ἐκδυσωπεῖν σοὺς ἱκέτας, δεῖξαι ταπεινώσεως, ἔμψυχα μάργαρα.

*Θεοτοκίον.*

Εὐεργέτην τεκοῦσα τὸν τοῦ παντὸς Δέσποινα, Λυτρωτὴν ἡμῶν καὶ Σωτῆρα, πρέσβευε ῥύσασθαι, ἀχαριστίας λιμοῦ, τοὺς εὐγνωμόνως τιμῶντας, Σὲ Θεογεννήτρια, ὕμνοις εὐσχήμοσιν.

Ἀξίωσον, πανευφροσύνου λειμῶνος τοῦ ἐν τῷ πόλῳ, Εὐφροσύνη θεοσεβὲς τοὺς σὲ μακαρίζοντας, καὶ ᾄδοντας μνήμην σου τὴν ἁγίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Μὴ παύσῃ Χριστῷ Νυμφίῳ οὐρανίῳ σου, πρεσβεύειν ἀεὶ Ὁσίων ἀκροθίνιον, Εὐφροσύνη πάνσεμνε, ὑπὲρ πάντων μνήμην τὴν θείαν σου, ἐπιτελούντων ὕμνοις καὶ ᾠδαῖς, πυξίον εὐχῆς καὶ ταπεινώσεως.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὑπερόπτην ἀνάδειξον, γεηρῶν ἁπάντων τὸν εὐφημοῦντά σε, Εὐφροσύνη ὡς ποθήσασα, μόνον ἐν τῷ βίῳ τὰ αἰώνια.

Φύσιν θήλεος εὔψυχε, παριδοῦσα ἤσκησας ἀνδρικώτατα, Εὐφροσύνη θείᾳ χάριτι, εὐσεβῶν ἰθῦντορ πρὸς τελείωσιν.

Ῥώμην θεῖαν λαμβάνομεν, Εὐφροσύνη ἄνωθεν οἱ τιμῶντές σε, ταπεινώσεως ὡς ἔκτυπον, καὶ ὑπακοῆς ἐνθέου ἄγαλμα.

*Θεοτοκίον.*

Οἱ προστρέχοντες πάντοτε, Σοῦ τῇ θείᾳ σκέπῃ οὐκ αἰσχυνόμεθα· ἐκπληροῖς γὰρ τὰ αἰτήματα, Σοῦ τῶν οἰκετῶν θεομακάριστε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σώματος ὁρμάς, σῶν προσφύγων ἀπονέκρωσον, Εὐφροσύνη ἡ ἀσκήσει καὶ εὐχῇ, τὰς ὀρέξεις τῆς σαρκὸς καταπραΰνασα.

Ὕδωρ μοι ζωῆς, αἰωνίου Μῆτερ πήγασον, Εὐφροσύνη θεοφόρε τῷ λαμπρῶς, μεγαλύνοντι ἀσκήσεως καμάτους σου.

Νεῦσον ταῖς ἡμῶν, Εὐφροσύνη παρακλήσεσι, καὶ κατάπεμψον ἐξ ὕψους ὑετόν, τοῖς ἱκέταις σου συνέσεως καὶ νήψεως.

*Θεοτοκίον.*

Ἡ τῶν εὐσεβῶν, προστασία καὶ ἀντίληψις, Θεοτόκε Εὐφροσύνης ταῖς λιταῖς, πρὸς ὁδοὺς χρηστοηθείας πάντας ἴθυνον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Στερέμνιος, βάσις ταπεινώσεως, ἐποφθεῖσα Εὐφροσύνη Ὁσία, καὶ ἀδιάσειστον τεῖχος ἁγνείας, τῶν ἀσωμάτων χορείας κατέπληξας· διὸ βοῶμεν καὶ ἡμᾶς, μιμητὰς ἀρετῶν σου ἀνάδειξον.

Ἀσκήσασα, ἀνδρικῷ φρονήματι, ἐν σεμνείῳ Εὐφροσύνη ἀνδρώῳ, καθυπετάγης σεπτῷ Ἀγαπίῳ, καὶ τῷ πανάγνῳ Θεῷ εὐηρέστησας, ᾯ καὶ ἡμᾶς εὐαρεστεῖν, ἀρεταῖς καταξίου ἀείποτε.

Ξενώσασα, σεαυτὴν τοῦ οἴκου σου, Παφνουτίου τοῦ Ὁσίου πατρός σου, καὶ γεηροῦ σου μνηστῆρος ἀγάπης, διὰ Χριστὸν τὸν ὡραῖον Νυμφίον σου, χάριν ἀπείληφας ἡμᾶς, Εὐφροσύνη ξενοῦν πάσης θλίψεως.

*Θεοτοκίον.*

Ἱκέτευε, τὸν Υἱόν Σου Δέσποινα, καὶ Θεὸν ἡμῶν Ἁγνὴ καταπέμψαι, τοῖς Σοῖς οἰκέταις ἰσχὺν ἀντιστῆναι, τῇ τοῦ ἀλάστορος πλάνῃ ἐντεύξεσι, τῆς Εὐφροσύνης τῆς αὐτοῦ, προσευχαῖς πατησάσης τὸ φρύαγμα.

Ἀξίωσον, πανευφροσύνου λειμῶνος τοῦ ἐν τῷ πόλῳ, Εὐφροσύνη θεοσεβὲς τοὺς σὲ μακαρίζοντας, καὶ ᾄδοντας μνήμην σου τὴν ἁγίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

Τοῖς ὑπὲρ φύσιν καμάτοις σου ἔτηξας, ὡσεὶ κηρὸν Εὐφροσύνη τὴν σάρκα σου, καὶ βίον Ἀγγέλων ζηλώσασα, δαιμόνων κατέπτηξας φάλαγγας, ἐξ ὧν με κακίας ἀπάλλαξον.

Προκείμενον: *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς μου.*

Στ.: *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

*Εὐαγγέλιον.*

Δόξα: *Ταῖς τῆς Σῆς Ὁσίας...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Γηρὸν μνηστῆρά σου, καταλιποῦσα καὶ οἶκον, τοῦ πατρὸς πανεύφημε, Παφνουτίου σώφρονος, δι’ ἀγάπησιν, τοῦ Χριστοῦ ἔδραμες, εἰς Μονὴν ἀνδρῴαν, ταῖς ἀζύγων ὁμηγύρεσι, χωρῆσαι πάγκαλε, καὶ εὐαρεστῆσαι Νυμφίῳ σου, τῷ θείῳ κατορθώμασι, σοῖς ἀσκητικοῖς· ὅθεν ἅπαντες, μῆτερ Εὐφροσύνη, τιμῶντές σε ἀξίως προσευχάς, τὰς σὰς θερμὰς πρὸς τὸν Κύριον, ἐκζητοῦμεν πάντοτε.

## *ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὡς χαρίτων ἑστίαν Εὐφροσύνη Ὁσία σὲ μακαρίζομεν, καὶ μνήμην σου τιμῶντες, τὴν θείαν γηθοσύνως, ἐκβοῶμεν ἑκάστοτε· ἴσθι ἡμῶν ταχινή, προστάτις ἐν τῷ βίῳ.

Στηλογράφημα θεῖον ἀγωγῆς ἐναρέτου καὶ διαυγέστατον, δοχεῖον ἐγκρατείας, Ὁσία Εὐφροσύνη, μὴ ἐλλίπῃς πρεσβεύουσα, ὑπὲρ ἡμῶν τῷ Θεῷ, τῶν σὲ ὑμνολογούντων.

Ὁλοφώτου παστάδος σὺν φρονίμοις παρθένοις οἰκήτωρ πάντιμος, ὀφθεῖσα Εὐφροσύνη, παθῶν μου χαμαιζήλων, τὴν σκοτείαν ἐκδίωξον, καὶ τοῦ ἀστέκτου φωτός, ἀνάτειλόν μοι ἦμαρ.

*Θεοτοκίον.*

Νεκρωθέντα με οἴμοι βδελυραῖς ἁμαρτίαις Θεογεννήτρια, θαῤῥῶν προσέρχομαί Σοι, κραυγάζων· ῥυπτικαῖς Σου, παρακλήσεσι ζώωσον, τὸν θανατώσαντα φεῦ, ψυχήν μου ἔργοις φαύλοις.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Μή με βδελύξῃ, τὸν σὸν ἀχρεῖον ἱκέτην, Εὐφροσύνη ἀλλὰ κάθαρόν με, προσευχῶν ὑσσώπω, τῶν σῶν ἀδιαλείπτων.

Ἔχει σὸν πνεῦμα, ὁ οὐρανὸς Εὐφροσύνη, καὶ ἡμεῖς ἐν τῇ γῇ τὰς εὐχάς σου, θησαυρὸν ὡς θεῖον, ἰσχὺν καὶ βακτηρίαν.

Ὅλῃ ἐφέσει, τῆς σῆς ψυχῆς Εὐφροσύνη, ἠγωνίσω καὶ ἤρθης πρὸς δόξης, δόμους ἔνθα Κτίστῃ, ὑπὲρ ἡμῶν πρεσβεύεις.

*Θεοτοκίον.*

Σαρκὸς κινήσεις, τὰς ψυχοκτόνους πρεσβείαις, Εὐφροσύνης κατάστειλον Μῆτερ, ἵνα Σε δοξάζω, τὴν κεχαριτωμένην.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἰδεῖν τοῦ Φωτοδότου, Ἰησοῦ ἐν πόλῳ, τὸ ἱλαρὸν τοῦ προσώπου ἀξίωσον, τοὺς σὲ πιστῶς Εὐφροσύνη ἀεὶ γεραίροντας.

Ἀφθόνως τὴν σὴν χάριν, πέμψον σοῖς ἱκέταις, πανευλαβῶς Εὐφροσύνη ἀοίδιμε, καὶ ἐξ ἐχθροῦ ἐπηρείας ἡμᾶς διάσωσον.

Χαρᾶς ὁδούς μοι δεῖξον, καὶ ἀπηλλαγμένον, θλίψεων βίον ἀνύειν ἀξίωσον, μὲ ἀγλαὴ Εὐφροσύνη ἀξιομίμητε.

*Θεοτοκίον.*

Μὴ παύσῃ εὐφροσύνης, οὐρανῶν πολίτας, ἡμᾶς γενέσθαι πρεσβεύουσα Δέσποινα, τοὺς ἐμμελῶς Εὐφροσύνην Ὁσίαν μέλποντας.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Τῆς Ἀλεξανδρείας σεπτὲ βλαστέ, Παφνουτίου τέκνον, τοῦ Ὁσίου θεοσεβές, Εὐφροσύνη χαῖρε, ἡ ἐν Μονῇ ἀνδρῴᾳ, ὑπερφυῶς ἀσκῆσαι, μὴ δειλιάσασα.

Νύμφη τοῦ Κυρίου περικλεές, ἡ ἀπαρνηθεῖσα, σὸν μνηστῆρα τὸν γεηρόν, καὶ ἐπιδοθεῖσα, εἰς ἀνδρικοὺς ἀγῶνας, θεόφρον Εὐφροσύνη, χαῖρέ σοι κράζομεν.

Βίον διανύσασα θαυμαστόν, ἀνδρικοῖς σου πόνοις, Εὐφροσύνη πανευσθενές, τοὺς χοροὺς ἀζύγων, ἐξέπληξας καὶ δῆμον, Ἀγγέλων φωτομόρφων, σοῖς κατορθώμασι.

Ῥῦσαι πάσης βλάβης καὶ συμφορῶν, τοὺς ἀνευφημοῦντας, σὴν ὑπέρλαμπρον βιοτήν, καὶ πταισμάτων λύσιν, ἡμῖν ἀεὶ ἐξαίτει, Ὁσία Εὐφροσύνη, χάριτος σκήνωμα.

Χαίροις Εὐφροσύνη μοναζουσῶν, εὐλαβῶς πυξίον, καὶ πρὸς θέωσιν ὁδηγός, χαίροις παρθενίας, ὑπομονῆς ἀγάπης, νηστείας ἐκμαγεῖον, καὶ ταπεινώσεως.

Ἴθυνὸν τὸ πλῆθος σῶν ἱκετῶν, πρὸς πανευφροσύνους, Εὐφροσύνη σεμνὴ σκηνάς, τὰς ἐν τῷ λειμῶνι, τοῦ οὐρανίου θόλου, καὶ σῶσον ἐκ θανάτου, τοὺς ἀνυμνοῦντάς σε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾿ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾿. Ὅτε ἐκ τοῦ ξύλου.*

Θείας εὐφροσύνης καὶ χαρᾶς, καταξίωσόν με ἀγήρω, τὸν σοὶ προσπίπτοντα, εὐλαβῶς πανένδοξε, καὶ σὴν ἀντίληψιν, ἐκζητοῦντα ἑκάστοτε, ὁ πάνυ ἀχρεῖος, Εὐφροσύνη πάναγνε, ὡς ἂν γεραίρω σε, νύμφην τοῦ Χριστοῦ τὴν καλλίστην, τὴν ἐν γυναικείῳ σαρκίῳ, ἀνδρικὴν καρδίαν ἀποκρύπτουσαν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾿ εὐχῶν.*